μίαν. ὕλη οὖν αὕτη ἡ τριμέρεια, θέλει γὰρ ὁ πολιτικὸς καὶ θυμοῦσθαι καὶ ἐπιθυμεῖν, ὅσων τε δεῖ καὶ ὅτε χρή. ὥσπερ γὰρ ἡ νήτη συμφθέγγεται τῇ ὑπάτῃ καὶ τὸν αὐτὸν ἀφίησιν αὐτῇ φθόγγον εἰ καὶ ὀξύτερον, οὕτως καὶ ἡ ἐπιθυμία πρὸς τὸν λόγον συνάπτεται· εἶδος δὲ ἡ δικαιοσύνη καὶ σωφροσύνη· ποιητικὸν δὲ αἴτιον ἡ ἐμφιλόσοφος ζωή· παράδειγμα δὲ ὁ κόσμος. πρὸς γὰρ τὸ πᾶν τὸ εὐταξίας γέμον τάττει πάντα ὁ πολιτικός, κόσμος γὰρ τὸ πᾶν τοῦτο κατὰ Πλάτωνα, οὐκ ἀκοσμία· ὄργανον δὲ τὰ ἤθη καὶ ἡ παιδεία· τέλος δὲ τὸ ἀγαθόν. ἰστέον δέ, ὅτι τὸ ἀγαθὸν διττόν ἐστι, τὸ μὲν γινομένοις ἡμῖν, τὸ δὲ ἀπογινομένοις ἐρχόμενον. τὸ μὲν οὖν γινομένοις ἐστὶ τὸ πολιτικόν, τὸ δὲ ἀπογινομένοις τὸ θεωρητικόν.

6 πρὸς μὲν οὖν τὸν Γοργίαν περὶ τοῦ ποιητικοῦ διαλέγεται, πρὸς δὲ τὸν Πῶλον περὶ τοῦ εἰδικοῦ, πρὸς δὲ τὸν Καλλικλέα περὶ τοῦ τελικοῦ· πλῆν εἰ καὶ τοῦτο οὕτως ἔχει, οὐ δεῖ θαυμάζειν, εἰ πάντα ἐν πᾶσιν φαίνεται. ἐν γὰρ τῷ ποιητικῷ καὶ τὰ ἄλλα εὑρίσκεται καὶ ἐν τοῖς ἄλλοις πάντα· κοινωνία γάρ τις ἐστὶ καὶ πεφοιτήκασι δι' ἀλλήλων. ἀπὸ δὲ τοῦ πλεονάζοντος τὴν τάξιν εἰλήφασιν. ἐντεῦθεν τοίνυν καὶ ἡ διαίρεσις ἀναφαίνεται τοῦ διαλόγου· εἰς τρία γὰρ διῄρηται, εἰς τοὺς πρὸς Γοργίαν λόγους καὶ εἰς τὸ μέρος τὸ ἔχον τοὺς πρὸς τὸν Πῶλον καὶ εἰς τὸ πρὸς τὸν Καλλικλέα. συναναφαίνεται δὲ καὶ ἡ τάξις τῶν διαλόγων. μαθόντος γὰρ ἐν τῷ

---

1 mg.

| | | |
|---|---|---|
| πολιτικῆς αἴτια | κατὰ ῥήτορας | κατὰ φιλοσόφους |
| ὕλη | ἐζῳωμένον σῶμα | ψυχὴ τριμερής |
| εἶδος | τρυφή | δικαιοσύνη καὶ σωφροσύνη |
| ποιητικόν | ῥητορική | ἐμφιλόσοφος ζωή |
| παραδειγματικόν | τυραννίς | κόσμος |
| ὀργανικόν | πειθώ | ἤθη καὶ παιδεία |
| τελικόν | ἡδονή | ἀγαθόν |

10 τὸ ἀγαθὸν διττόν

| | | |
|---|---|---|
| γινομένοις | | ἀπογινομένοις |
| πολιτικόν | ἡμῖν | θεωρητικόν |

20 mg. διαίρεσις γ

24 mg.

| | |
|---|---|
| διάλογοι Πλάτωνος | τὰ ἐν αὐτοῖς διδασκόμενα |
| α' Ἀλκιβιάδης | περὶ φύσεως ἀνθρώπου |
| β' Γοργίας | περὶ πολιτικῆς ἀρετῆς |
| γ' Φαίδων | περὶ καθαρτικῆς |